ΙΔ85/β

*Ἐποιήθησαν ὑπὸ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας. Ἐγκεκριμέναι ὑπὸ τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος διὰ τοῦ ὑπ' ἀριθμ. 1734/10–12–1987 ἐγγράφου.*



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## Τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν Λουκᾶ τοῦ ἐν τῷ Στειρίῳ

**Ὁ Ἱερεύς:** Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

**Ὁ Ἀναγνώστης.** Ἀμήν.

### Ψαλμός αμβ΄ (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται

ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος· καί ἠκηδίασεν ἐπ᾽ ἐμέ τό πνεῦμά μου· ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σέ τάς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου. Μή ἀποστρέψῃς τό πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησόν μοι τό πρωΐ τό ἔλεός σου, ὅτι ἐπί σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρός σέ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἶ ὁ Θεός μου. Τό πνεῦμά σου τό ἀγαθόν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν

τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου· καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σου εἰμι.

**καί εὐθύς ψάλλει ὁ χορός.**

**Ἦχος δ΄**

Θεός Κύριος καί ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχος α΄.** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ Ἅγιον αὐτοῦ.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχος β΄.** Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

**Στίχος γ΄.** Παρὰ Κυρίου ἐγένετο αὕτη,

καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ὡς δοξασθεὶς παρὰ τοῦ πάντων Δεσπότου, πᾶσι παρέχεις τὴν σωτήριον χάριν, τοῖς τῇ θερμῇ πρεσβείᾳ σου προστρέχουσιν· ὅθεν ἀπολύτρωσαι, ἀναγκῶν καὶ κινδύνων, καὶ παντοίων θλίψεων, τοὺς πιστῶς σοι βοῶντας· Θαυματοφόρε Ὅσιε Λουκᾶ, πᾶσι παράσχου, ταχεῖαν βοήθειαν.

**Δόξα Πατρί. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.



**Ὁ ἀναγνώστης (χῦμα)**
**Ψαλμὸς Ν΄ (50)**

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ

πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσα μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.



**Ὁ Κανὼν οὗ ἡ ἀκροστιχίς.**
**«Λουκᾶ ῥύου ἡμᾶς κινδύνων. Γερασίμου».**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Λαμπόμενος φέγγει Τριαδικῷ, Λουκᾶ θεοφόρε, ἐκ κινδύνων καὶ πειρασμῶν, καὶ σκότους παθῶν τῶν ὀλεθρίων, ῥῦσαι ἡμᾶς φωτοφόροις πρεσβείαις σου.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁλύχνος Στειρίου ὁ φωταυγής, Λουκᾶ θεοφόρε, ἀπὸ πάσης ἐπιβουλῆς, καὶ βλάβης καὶ πάσης ἐπηρείας, ἡμᾶς ἐν βίῳ ἀπήμονας φύλαττε.

Δόξα Πατρί.

Ὑψόθεν ἐφάπλωσον μυστικῶς, Λουκᾶ θεοφόρε, τῆς θερμῆς σου ἐπισκοπῆς, τὴν χάριν ἀπείργουσαν τὴν βλάβην, τὴν καθ' ἡμῶν καὶ μανίαν τοῦ δράκοντος.

Καὶ νῦν καὶ ἀεί. Θεοτοκίον.

Κυρία καὶ Δέσποινα τοῦ παντός, Κεχαριτωμένη Παντευλόγητε Μαριάμ, πικρᾶς δυναστείας τοῦ Βελίαρ, τὰς διανοίας ἡμῶν ἐλευθέρωσον.

**Ὠδὴ γ'. Οὐρανίας ἀψίδος.**

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀσωμάτων τὸν βίον, μετὰ σαρκὸς ἔζησας, καὶ σωματικῶν ἀλγηδόνων, πολλοὺς ἀπήλλαξας, Ἁγίῳ Πνεύματι· ὅθεν κἀμὲ κατὰ σῶμα, καὶ ψυχὴν θεράπευσον, Λουκᾶ μακάριε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥυπτικῇ σου πρεσβείᾳ, ὡς συμπαθὴς Ἅγιε, πλῦνον τῶν παθῶν μου τὸν ῥύπον, καὶ τῶν πταισμάτων μου, τὴν λύσιν αἰτησαι, παρὰ τοῦ πάντων Δεσπότου, καὶ πρὸς βίον κρείττονα, Λουκᾶ με ἴθυνον.



Δόξα Πατρί.

Ὑπὲρ πάντων δυσώπει, τὸν εὐμενῆ Κύριον, τῶν καταφευγόντων ἐκ πόθου, Λουκᾶ τῇ σκέπῃ σου, ὡς ἂν ῥυσθείημεν, ἐπιφορῶν ψυχοφθόρων, καὶ ζωὴν γαλήνιον, Πάτερ ἀνύωμεν.

Καὶ νῦν καὶ ἀεί. Θεοτοκίον.

Οὐρανὸν ὁ τανύσας, παντουργικῷ νεύματι, καὶ τῆς γῆς τὸ βάθος ἑδράσας, ὡς Παντοδύναμος, ἐκ σοῦ σεσάρκωται, καὶ τὴν ἀρχαίαν κατάραν, τῶν βροτῶν ἠφάνισε, μόνη Πανύμνητε.

Ἀιάσωσον Λουκᾶ θεόφρον πρεσβείαις σου θεοδέκτοις, τοὺς ἐν πίστει τῇ προστασίᾳ σου σπεύδοντας, ἀπὸ παντοίων κινδύνων καὶ συμπτωμάτων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Ὁ Ἱερεύς.**

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν **(Δεῖνος)** καὶ πάσης τῆς ἐν Χριστῷ ἀδελφότητος.

Ἔτι δεόμεθα, ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (ἢ Μονῇ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου Ναοῦ τούτου.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ **(μνημονεύει τὰ ὀνόματα).** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.**

Λουκᾶ θαυμαστέ, Ὁσίων ἐγκαλλώπισμα, Χριστὸν τὸν Θεόν, ἀπαύστως καθικέτευε, ῥύεσθαι πάσης θλίψεως, καὶ πικρῶν ἐν τῷ βίῳ κακώσεων, τοὺς ἐκζητοῦντας τὴν σὴν ἀρωγήν, καὶ μέλποντας πάτερ τοὺς ἀγῶνάς σου.

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὕδωρ βλῦσον τῆς χάριτος, τοῖς φλογιζομένοις πυρὶ τῶν θλίψεων, καὶ κατάφλεξον τὴν ἄκανθαν, πάσης ἁμαρτίας Λουκᾶ Ὅσιε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡδοναῖς ταῖς τοῦ σώματος, Πάτερ δουλωθεῖσάν μου τὴν διάνοιαν, ἐλευθέρωσον καὶ κάθαρον, καὶ τῷ θείῳ φόβῳ με κυβέρνησον.

Δόξα Πατρί.

Μέγας πρόβολος πέφηνας, τῆς σεπτῆς Μονῆς σου Λουκᾶ μακάριε· ὅθεν ταύτην ἀεὶ φύλαττε, προσβολῆς ἁπάσης καὶ κακώσεως.

Καὶ νῦν καὶ ἀεί. Θεοτοκίον.

Ἀειπάρθενε Δέσποινα, ἡ τὸν Θεὸν Λόγον ἀφράστως τέξασα, ἀλογίας πάσης ῥῦσαί με, τῆς προσγινομένης τῇ καρδίᾳ μου.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σκέπασον ἡμᾶς, τῶν βελῶν τοῦ πολεμήτορος, τῇ θερμῇ σου ἱκεσίᾳ πρὸς Χριστόν, περιέπων τὴν ζωὴν ἡμῶν μακάριε.



Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἔχει σε θερμόν, ἡ Μονή σου ἀντιλήπτορα· διὰ τοῦτό σοι βοᾷ ἀπὸ ψυχῆς· Τὴν σὴν ποίμνην ἀσινῆ Λουκᾶ διάσωζε.

Δόξα Πατρί.

Κόπασον παθῶν, τὸ κλυδώνιον μακάριε, τὸ χειμάζον τὴν ζωὴν ἡμῶν δεινῶς, καὶ εἰρήνην ἡμῖν αἴτει Λουκᾶ ἄνωθεν.

Καὶ νῦν καὶ ἀεί. Θεοτοκίον.

Κοίμησον Ἁγνή, τῶν παθῶν μου τὰ σκιρτήματα, καὶ ἀπάθειαν παράσχου ἀληθῆ, τῇ ψυχῇ μου Θεοτόκε ἱκετεύω σε.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰάσεις, παντοδαπάς ἀναβλύζων, θεραπεύεις τῶν παθῶν τὰς ὀδύνας·

διὸ βοῶ σοι Λουκᾶ θεοφόρε· τὴν συντριβήν τῆς ψυχῆς μου ἰάτρευσον, καὶ δίδου μοι Πάτερ ἰσχύν, ἐκπληροῦν τοῦ Κυρίου τὸ θέλημα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ναῷ σου, τῷ ἱερῷ προσφοιτῶντες, ὡς λιμένι σωτηρίας εὐδίῳ, τρικυμιῶν χαλεπῶν τῶν τοῦ βίου, καὶ συμφορῶν καὶ κινδύνων λυτρούμεθα, Πάτερ Λουκᾶ θαυματουργέ, χαριστήριον ὕμνον σοι ᾄδοντες.

Δόξα Πατρί...

Δυνάμει, τῇ ἐκ Θεοῦ θεοφόρε, ἀσθενοῦσι θεραπείαν παράσχου, καὶ θλιβομένοις παράκλησιν θείαν, καὶ τοῖς ἐν πόνοις καὶ λύπαις ἀνάψυξιν, Πάτερ Λουκᾶ θαυματουργὲ, ὡς προστάτης ἡμῶν συμπαθέστατος.

Καὶ νῦν καὶ ἀεί... Θεοτοκίον.



Ὑψίστου, περιφανέστατος οἶκος, καὶ παλάτιον καὶ πάμφωτος θρόνος, ὡς ἀληθῶς ἀνεδείχθης Παρθένε, ὑπερφυῶς ἐν γαστρὶ σου χωρήσασα, καὶ τέξασα μετὰ σαρκός, τὸν ἡμᾶς τῆς κατάρας ῥυσάμενον.

Ἀιάσωσον Λουκᾶ θεόφρον πρεσβείαις σου θεοδέκτοις, τοὺς ἐν πίστει τῇ προστασίᾳ σου σπεύδοντας, ἀπὸ παντοίων κινδύνων καὶ συμπτωμάτων.

Ἄχραντε, ἡ διά λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Ὁ ἱερεὺς μνημονεύει.**

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν **(δεῖνος)** καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ κωμοπόλει (πόλει ἢ Μονῇ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου Ναοῦ τούτου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ **(μνημονεύει τὰ ὀνόματα).**

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Κοντάκιον.**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Θαυματοφόρε Λουκᾶ ἀξιάγαστε, τῶν εὐσεβούντων προστάτα θερμότατε, ἀπαύστως δυσώπει τὸν Κύριον, δυσχερειῶν ἐκλυτροῦσθαι καὶ θλίψεων, τοὺς πόθῳ τιμῶντάς σε Ὅσιε.



**Προκείμενον.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

**Στίχ.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τόν Κύριον...

**Εὐαγγέλιον κατὰ Ματθαῖον.**
**(Κεφ. ια΄. 27-30)**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός, καί ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

**Δόξα Πατρί.**

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις Ἐλεῆ-

μον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

**Προσόμοιον.**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

Χάριτος θησαύρισμα, τῆς τοῦ Θεοῦ ἀνεδείχθης, βίου καθαρότητι, τὸν νοῦν καθηράμενος Λουκᾶ Ὅσιε· διὸ νῦν κάθαρον, παθῶν ἀκαθάρτων, εὐπροσδέκτοις ἱκεσίαις σου, πάσης φαυλότητος, καὶ ἐπινοιῶν τοῦ ἀλάστορος, καὶ νόσων τε καὶ θλίψεων, τοὺς εἰλικρινῶς σε γεραίροντας, εἰρήνην ἐν βίῳ, καὶ πᾶσαν εὐπραγίαν καὶ χαράν, καὶ τῶν πταισμάτων τὴν ἄφεσιν, ἡμῖν ἐξαιτούμενος.



**Ὁ ἱερεύς.**

Σῶσον, ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων, Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ Τιμίου, ἐνδόξου Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας καὶ Σπυ-

ρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καὶ Καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τοῦ ὁσίου καὶ θεοφόρου πατρός ἡμῶν Λουκᾶ τοῦ θαυματουργοῦ· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακείμ καὶ Ἄννης **(τοῦ ἁγίου τῆς ἡμέρας)** καὶ πάντων σου τῶν Ἁγίων. Ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς.

**Ὁ Χορός·** Κύριε ἐλέησον **(ιβ΄)**

**Ὁ ἱερεύς.** Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός·** Ἀμήν.

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νοσημάτων παντοίων, καὶ πικρῶν συμπτωμάτων καὶ περιστάσεων, ἀτρώτους διατήρει, Λουκᾶ θαυματοφόρε, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς θερμὸς ἀντιλήπτωρ, τῶν πρὸς σὲ ἀφορώντων Λουκᾶ μακάριε, παθῶν τὴν λύσιν αἴτει, καὶ κόπασον τὸν σάλον, συμφορῶν καὶ κακώσεων, καὶ τῶν πταισμάτων ἡμῖν, συγχώρησιν ἐξαίτει.

Δόξα Πατρί.

Νᾶμα ἄϋλον βλῦσον, ἐκ πηγῶν σωτηρίου ταῖς ἱκεσίαις σου, Λουκᾶ

θαυματοφόρε, τοῖς ἐν τῇ αὐχμηρίᾳ, τηκομένοις τῶν θλίψεων, ἵνα καρπὸν ἀληθῆ, προσάξωμεν Κυρίῳ.

Καὶ νῦν καὶ ἀεί. Θεοτοκίον.

Γηγενῶν σωτηρία, τὸν Σωτῆρα τεκοῦσα ὤφθης Πανάμωμε· διὸ κἀμὲ τῶν βρόχων, τῶν ἐκ τῆς ἁμαρτίας, δυσωπῶ σε ἀνάσωσον, καὶ ἴθυνόν με Ἁγνή, πρὸς τρίβον σωτηρίας.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν τῷ Στειρίῳ, ὡς φαεινότατος λύχνος, Λουκᾶ ἔλαμψας φωτὶ τῶν ἀρετῶν σου, λύων τὴν ὁμίχλην, παθῶν καὶ νοσημάτων.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥείθροις παμμάκαρ, τῶν θεϊκῶν σου χαρίτων, καταδρόσισον ψυχὴν μου τὴν ἀθλίαν, καταφλεγομένην, πυρὶ τῆς ἁμαρτίας.

Δόξα Πατρί.

Ἅπας προστρέχων, τῇ σῇ θερμῇ προστασίᾳ, Λουκᾶ Ὅσιε, εὑρίσκει σωτηρίαν· ὅθεν κἀμὲ σῶσον, τῆς τοῦ ἐχθροῦ μανίας.

Καὶ νῦν καὶ ἀεί. Θεοτοκίον.

Σαρκὸς μου παῦσον, τὰς ἀφορήτους ὀδύνας, καὶ ἐπίῤῥωσον ψυχῆς μου τὰς δυνάμεις, Ἄχραντε Παρθένε, πρὸς θείας ἐπιδόσεις.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰσχὺν ἡμῖν παράσχου, κατὰ τῶν ποικίλων, μεθοδειῶν τοῦ ἀλάστορος Ὅσιε, καὶ τῶν παθῶν θεραπείαν καὶ βίον ἄλυπον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μονῇ σου τῇ ἁγίᾳ, Πάτερ τοὺς ἐν πίστει, καὶ εὐλαβείᾳ προστρέχον-

τας πάντοτε, δυσχερειῶν θεοφόρε παντοίων λύτρωσαι.

Δόξα Πατρί.

Ὁσίως διανύσας, Πάτερ τὴν ζωὴν σου, ἐν ὁσιότητι πάσῃ ἐνίσχυσον, καὶ ἀρεταῖς πολιτεύεσθαι τοὺς τιμῶντάς σε.

Καὶ νῦν καὶ ἀεί. Θεοτοκίον.

Ὑμνῶ σου Θεοτόκε, τὴν ἄφραστον δόξαν, καὶ ἐκ καρδίας βοῶ ὁ οἰκέτης σου· τῆς τῶν παθῶν τυραννίδος ῥῦσαί με Δέσποινα.

**Καὶ εὐθύς, τό**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Χαίροις ὁ Στειρίου θεῖος πυρσός, καὶ τῶν Μοναζόντων, ἑωσφόρος καὶ ὁδηγός· χαίροις ὁ θαυμάτων, βλυστάνων θεῖα ῥεῖθρα, Λουκᾶ πνευματοφόρε, Ἑλλάδος καύχημα.

Χαίρων ἐκ νεότητος τὸν Σταυρόν, ἦρας τοῦ Κυρίου, καὶ ἰσάγγελος ἀληθῶς, ὤφθης ἐν ἀσκήσει, Λουκᾶ Ὁσίων δόξα, καὶ πλήρης θεοσδότων, χαρίτων γέγονας.

Χαίροις θεοφόρε Πάτερ Λουκᾶ· χαίροις τῆς Τριάδος, ἐνδιαίτημα ἱερόν· χαίροις ὁ παρέχων, σωτηριώδη χάριν, τοῖς πίστει προσιοῦσι, τῇ ἀντιλήψει σου.

Πόνοις διαλάμπων ἀσκητικοῖς, αὐτουργὸς θαυμάτων, ἀνεδείχθης παρὰ Θεοῦ, πάθη ἀπελαύνων, καὶ νόσους θεραπεύων, Λουκᾶ τῶν αἰτουμένων, τὴν σὴν βοήθειαν.

Χάριν τὴν πλουσίαν παρὰ Θεοῦ, ἣν ἐδέξω Πάτερ, ὡς δοχεῖον τῶν ἀρετῶν, ἐφαπλῶν τοῖς πᾶσι, κινδύνων ἀπαλλάττεις, καὶ πειρασμῶν ἐξαίρεις, τοὺς προσιόντάς σοι.

Ἔχων παῤῥησίαν πρὸς τὸν Χριστόν, Λουκᾶ θεοφόρε, καθικέτευε ἐκτενῶς, δυσπραγίας πάσης, καὶ συνοχῆς θλιβόντων, λυτροῦσθαι τοὺς ζητοῦντας, τὴν προστασίαν σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

**Ὁ Ἀναγνώστης**

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. **(τρίς).**

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε ἐλέησον (γ΄)

Δόξα Πατρί. Καὶ νῦν καὶ ἀεί.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**Ὁ Ἱερεύς:** Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ...

**Ἀπολυτίκιον.**

**Ἦχος δ΄.** Ταχὺ προκατάλαβε.

Σταυρὸν ἐκ νεότητος ἀναλαβόμενος, πορείαν διήνυσας στενὴν καὶ ἐπίπονον, οἰκήσας ἐν ὄρεσιν. Ὅθεν αὐλι-

ζόμενος εἰς εὐρύχωρον πλάτος, δόξης καὶ βασιλείας τοῦ Θεοῦ καὶ Σωτῆρος, Λουκᾶ θεομακάριστε, ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

**Ὁ Ἱερεύς. Ἐκτενής.**

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (τρίς)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν **(Δεῖνος)** καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (ἢ Μονῇ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου Ναοῦ τούτου.



Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ **(μνημονεύει τὰ ὀνόματα).**

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ πόλιν (ἢ Μονὴν) ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου, ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακρὰν καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν Δέσποτα, ἐπὶ

ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς.

Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Καὶ ἡ μικρὰ Ἀπόλυσις.**

**Ὁ χορὸς ψάλλει. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου...**

Λύσιν τῶν ἐν βίῳ δυσχερῶν, καὶ στενοχωρίας ἁπάσης, καὶ περιστάσεως, αἴτησαι τοῖς σπεύδουσι, τῇ προστασίᾳ σου, καὶ παθῶν ἀπολύτρωσιν, καὶ πᾶσαν εἰρήνην, καὶ πταισμάτων ἄφεσιν, Λουκᾶ μακάριε· σὲ γὰρ βοηθὸν ἐν ἀνάγκαις, ἔχοντες τὴν σὴν ἐξαιτοῦμεν, ἐν παντὶ καὶ πάντοτε βοήθειαν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Ὁ Ἱερεύς**

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

**Ὁ χορός. Ἀμήν.**

**Δίστιχον.**

Δέξαι εὐμενῶς Λουκᾶ θαυματοφόρε
Ἥν σοι Γεράσιμος παράκλησιν φέρει.

